ταπλάττων καὶ περιχαράσσων, καὶ ὑποβαλλόμενος. Οὐ γὰρ
ἄλλον τινὰ, ὦ μωρᾶς μὲν γλώσσης μωροτέρας δ' ἀκο-
ῆς τῶν παραδεχομένων! ἀλλ' ἐκεῖνον εἶναι τὸν Τυχικὸν
ἐτερατολόγει, τὸν ἐν ταῖς ἐπιστολαῖς τοῦ ἀποστόλου φερόμε-
νόν τε, καὶ πολλαχοῦ μνήμης ἐπαινουμένης ἀξιούμενον.
Τοῦτο δὲ τὸ κακόπλαστόν τε, καὶ ἀναιδὲς, καὶ ἠλίθιον,
καὶ ἄθεον, καὶ οὐ μὴ ἔστι παρ' οὐδεμιᾷ τῶν πώποτε γεγενη-
μένων αἱρέσεων παραπλήσιον· τοῦτο δὴ καταβαλὼν,
καὶ προθεμελιώσας ταῖς τῶν ἠπατημένων ψυχαῖς,
ἐκεῖθεν ἐποικοδόμει τὰ ἄλλα. Κήρυκα γὰρ ἀποσταλῆναι
πρὸς αὐτοὺς παρ' αὐτοῦ. Καὶ αἱ ἐπαγγελίαι καὶ λέγει, μὴ
τῆς αὐτοῦ σοφίας εἶναι, τοῦ δὲ διδάξαντος καὶ ἀποσταλκό-
τος Παύλου παραγγέλματα. Καὶ ὁ πολλάκις τοῖς ἔτι
μᾶλλον μυστικωτέροις τὴν ἀσέβειαν, πνεῦμα καὶ παράκλη-
τον ὑμνῶν ἑαυτὸν εἰς τὸν χορὸν τῶν μαθητῶν, τοῦ θεσπε-
σίου Παύλου πρὸς τὸ ἄλλο πλῆθος κατέλεγεν ἑαυτὸν, ἑπτα-
κοσίων ἐτῶν οὐδεὶς μεταγενέστερος καὶ Παύλου καὶ Τυχι-
κοῦ γεγονώς. Καὶ γὰρ ὁ κατάρατος οὗτος, καὶ τερατίας,
ἐν τοῖς καθ' ἡμᾶς ἐγνωρίζετο Σέργιος κῆρυξ τῆς ἀσε-
βείας, ὅπω τις διάπυρος ἕτερος. Πολλὰς γὰρ ὁ πλά-
νος πόλεις περιῆλθε καὶ χώρας, θηρῶν, ἀπατῶν, πα-
γιδεύων τὰς τῶν ἁπλουστέρων, οἶμαι, ψυχάς. Ὡς καὶ αὐ-
τὸς ὁ τοῦ ψεύδους, ὡς ἀληθῶς, υἱὸς ἐν μιᾷ τῶν αὐτοῦ
φησὶν ἐπιστολῶν. Ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βορ-
ρᾶ καὶ νότου ἔδραμον κηρύσσων τὸ εὐαγγέλιον Χριστοῦ τοῖς
ἐμοῖς γόνασιν. Εἰ γὰρ, ὡς ἐν πᾶσιν, οὕτω κἀνταῦθα ἠλαζο-
νεύετο· ἀλλ' οὖν οὐκ ὀλίγον δρόμον ὑπὲρ τῆς ἑαυτοῦ κα-

τῶν